**Papyrus ptolémaïques : Callimaque, fr. 75 Pf.**

75 (9 Pf.[1])

ἤδη καὶ κούρῳ παρθένοϲ εὐνάϲατο,
τέθμιον ὡϲ ἐκέλευε προνύμφιον ὕπνον ἰαῦϲαι
ἄρϲενι τὴν τᾶλιν παιδὶ ϲὺν ἀμφιθαλεῖ.
Ἥρην γάρ κοτέ φαϲι—κύον, κύον, ἴϲχεο, λαιδρέ
θυμέ, ϲύ γ᾽ ἀείϲῃ καὶ τά περ οὐχ ὁϲίη·
ὤναο ḳάρṭ᾽ ἕνεκ᾽ οὔ τι θεῆϲ ἴδεϲ ἱερὰ φρικτῆϲ,
ἐξ ἂν ἐπεὶ καὶ τῶν ἤρυγεϲ ἱϲṭορίην.
ἦ πολυιδρείη χαλεπὸν κακόν, ὅϲτιϲ ἀκαρτεῖ
γλώϲϲηϲ· ὡϲ ἐτεὸν παῖϲ ὅδε μαῦλιν ἔχει.
ἠῷοι μὲν ἔμελλον ἐν ὕδατι θυμὸν ἀμύξειν
οἱ βόεϲ ὀξεῖαν δερκόμενοι δορίδα·
δειελινὴν τὴν δ᾽ εἷλε κακὸϲ χλόοϲ, ἦλθẹ δὲ νοῦϲοϲ,
αἶγαϲ ἐϲ ἀγριάδαϲ τὴν ἀποπεμπόμεθα,
ψευδόμενοι δ᾽ ἱερὴν φημίζομεν· ἣ τότ᾽ ἀνιγρή
τὴν κούρην Ἀ̣[ίδ]ẹω μέχριϲ ἔτηξε δόμων.
δεύτερον ἐϲτόρνυντο τὰ κλιϲμία, δεύτερον ἡ π̣α̣[ῖ]ϲ̣
ἑπτὰ τεταρταίῳ μῆναϲ ἔκαμνε πυρί.
τὸ τρίτον ἐμνήϲαντο γάμου κά̣ṭα̣, ṭὸ τρίτον αὖ̣ṭ[ιϲ
Κυδίππην ὀλοὸϲ κρ̣υμὸϲ ἐϲῳκίϲατο.
τέτρατον [ο]ὐκέτ᾽ ἔμεινε πατὴρ ἐ. . . .φ. .ọ. . .[
Φοῖβον· ὁ δ᾽ ἐννύχιον τοῦτ᾽ ἔποϲ ηὐδάϲατο·
'Ἀρτέμιδοϲ τῇ παιδὶ γάμον βαρὺϲ ὅρκοϲ ἐνικλᾷ̣·
Λύγδαμιν οὐ γὰρ ἐμὴ τῆμọϲ̣ ἔκηδε κάϲιϲ
οὐδ᾽ ἐν Ἀμυκλαίῳ θρ̣ύọṿ ἔπλεκεν οὐδ᾽ ἀπὸ θήρηϲ
ἔκλυζεν ποταμῷ λ̣ύ̣ματα Παρθενίῳ,
Δήλῳ δ᾽ ἦν ἐπίδημοϲ, Ἀκόντιον ὁππότε ϲὴ παῖϲ
ὤμοϲεν, οὐκ ἄλλον, νυμφίον ἑξέμεναι.
ὦ Ḳήυξ, ἀλλ᾽ ἤν με θέλῃϲ ϲυμφράδμονα θέϲθαι,
. .]ν. . τελευτήϲειϲ ὅρκια θυγατέροϲ·
ἀργύρῳ οὐ μόλιβον γὰρ Ἀκόντιον, ἀλλὰ φαεινῷ
ἤλεκτρον χρυϲῷ φημί ϲε μειξέμεναι.
Κοδρείδηϲ ϲύ γ᾽ ἄ̣ν̣ῳθεν ὁ πενθερόϲ, αὐτὰρ ὁ Κεῖοϲ
γαμβρὸϲ Ἀριϲταίου [Ζη]ṿὸϲ ἀφ᾽ ἱερέων
Ἰκμίου οἷ̣ϲ̣ι̣ μέμ[η]λεν ἐπ᾽ οὔρεοϲ ἀμβώνεϲϲιν
πρηΰνειν χαλ[ε]πὴν Μαῖραν ἀνερχομένην,
αἰτεῖϲθαι τὸ δ᾽ ἄημα παραὶ Διὸϲ ᾧ τẹ θαμεινοί
πλήϲϲονται λινẹ́αιϲ ὄρτυγεϲ ἐν νεφέλαιϲ.'
ἦ θεόϲ· αὐτὰρ ὁ Νάξον ἔβη πάλιν, εἴρετο δ᾽ αὐτήν
κούρην, ἡ δ᾽ ἀν᾽ ἐτῷ̣ϲ̣ πᾶν ἐκάλυψεν ἔποϲ
κῆν αὖ ϲῶϲ· . .[.] λοιπόν, Ἀκόντιε, ϲεῖο μετελθεῖν
. . . . . .ηνιδιην ἐϲ Διονυϲιάδα.

χὴ θεὸϲ εὐορκεῖτο καὶ ἥλικεϲ αὐτίχ᾽ ἑταίρηϲ
ᾖδον ὑμηναίουϲ οὐκ ἀναβαλλομένουϲ.
οὔ ϲε δοκέω τημοῦτοϲ, Ἀκόντιε, νυκτὸϲ ἐκείνηϲ
ἀντί κε, τῇ μίτρηϲ ἥψαο παρθενίηϲ,
οὐ ϲφυρὸν Ἰφίκλειον ἐπιτρέχον ἀϲταχύεϲϲιν
οὐδ᾽ ἃ Κελαινίτηϲ ἐκτεάτιϲτο Μίδηϲ
δέξαϲθαι, ψήφου δ̣᾽ ἂν ἐμῆϲ ἐπιμάρτυρεϲ ε̣ἶ̣ε̣ν̣
οἵτινεϲ οὐ χαλεποῦ νήιδέϲ εἰϲι θεοῦ.
ἐκ δὲ γάμου κείνοιο μέγ᾽ οὔνομα μέλλε νέεϲθαι·
δὴ γὰρ ἔθ᾽ ὑμέτερον φῦλον Ἀκοντιάδαι
πουλύ τι καὶ περίτιμον Ἰουλίδι ναιετάουϲιν,
Κεῖε, τεὸν δ᾽ ἡμεῖϲ ἵμερον ἐκλύομεν
τόνδε παρ᾽ ἀρχαίου Ξενομήδεοϲ, ὅϲ ποτε πᾶϲαν
νῆϲον ἐνὶ μνήμῃ κάτθετο μυθολόγῳ̣,
ἄρχμενοϲ ὡϲ νύμφῃϲι[ν ἐ]ναίετο Κωρυκίῃϲιν,
τὰϲ ἀπὸ Παρνηϲϲοῦ λῖϲ ἐδίωξε μέγαϲ,
Ὑδροῦϲϲαν τῷ̣ καί μιν ἐφήμιϲαν, ὥ̣ϲ̣ τ̣ε Κιρῴ̣[δηϲ
.]ο̣. . θ̣υϲ̣[.]τ̣ο̣. . ᾥ̣κεεν ἐν Καρύαιϲ·
ὥ]ϲ τέ μιν ἐννάϲϲαντο τέων Ἀλαλάξιοϲ αἰεί
Ζεὺϲ ἐπὶ ϲαλπίγγων ἱρὰ βοῇ δέχεται
Κᾶρεϲ ὁμοῦ Λελέγεϲϲι, μ̣ε̣τ̣᾽ οὔνομα δ᾽ ἄλλο βα̣λ̣έϲ̣θ̣[αι
Φοίβου καὶ Μελίηϲ ἶνιϲ ἔθηκε Κέωϲ·
ἐν δ᾽ ὕβριν θάνατόν τε κεραύνιον, ἐν δὲ γόηταϲ

ξυγκραθέντ᾽ αὐταῖϲ ὀξὺν ἔρωτα ϲέθεν
πρέϲβυϲ ἐτητυμίῃ μεμελημένοϲ, ἔ̣ν̣θεν̣ ὁ π̣α̣[ι]δ̣όϲ
μῦθοϲ ἐϲ ἡμετέρην ἔδραμε Καλλιόπην.

Τελχῖναϲ μακάρων τ᾽ οὐκ ἀλέγοντα θεῶν
ἠλεὰ Δημώνακτα γέρων ἐνεθήκατο δέλτ[οιϲ
καὶ γρηῢν Μακελώ, μητέρα Δεξιθέηϲ,
ἃϲ μούναϲ, ὅτε νῆϲον ἀνέτρεπον εἵνεκ᾽ ἀ̣λ̣[ι]τ̣[ρῆϲ
ὕβριοϲ, ἀϲκηθεῖϲ ἔλλιπον ἀθάνατοι·
τέϲϲαραϲ ὥϲ τε πόληαϲ ὁ μὲν τείχιϲϲε Μ̣ε̣γα̣κ̣[λ]ῆ̣ϲ̣
Κάρθαιαν, Χρυϲοῦϲ δ᾽ Εὔπ[υ]λοϲ ἡμιθέηϲ
εὔκρηνον πτολίεθρον Ἰουλίδοϲ, αὐτὰρ Ἀ̣κα̣ῖ̣[οϲ
Ποιῆϲϲαν Χαρίτων ἵ̣δ̣ρ̣υμ᾽ ἐυπλοκάμων,
ἄϲτυρον Ἄφραϲτοϲ δὲ Κορή[ϲ]ιον, εἶπε δ̣έ̣, Κ̣ε̣ῖ̣ε̣,

ξυγκραθέντ᾽ αὐταῖϲ ὀξὺν ἔρωτα ϲέθεν
πρέϲβυϲ ἐτητυμίῃ μεμελημένοϲ, ἔ̣ν̣θεν̣ ὁ π̣α̣[ι]δ̣όϲ
μῦθοϲ ἐϲ ἡμετέρην ἔδραμε Καλλιόπην.